# Kleostratos

Testimonia DK 6 A

**A 1** = Theofrastos, De sign. 4 (= Theofrastos Fragment 6, 4; ed. F. Wimmer, Theophrasti Eresii opera, quae supersunt, omnia, Paris, Didot 1866, repr. Frankfurt am Main, Minerva 1964)
διὸ καὶ ἀγαθοὶ γεγένηνται κατὰ τόπους τινὰς ἀστρονόμοι ἔνιοι οἶον Ματρικέτας ἐν Μηθύμνηι ἀπὸ τοῦ Λεπετύμνου καὶ Κλεόστρατος ἐν Τενέδωι ἀπὸ τῆς Ἴδης καὶ Φαεινὸς ᾽Αθήνησιν ἀπὸ τοῦ Λυκαβηττοῦ τὰ περὶ τὰς τροπὰς συνεῖδε, παρ᾽ οὗ Μέτων ἀκούσας τὸν τῶν ἑνὸς δεόντων εἴκοσιν <ἐτῶν> ἐνιαυτὸν συνέταξεν· ἦν δὲ ὁ μὲν Φαεινὸς μέτοικος ᾽Αθήνησιν, ὁ δὲ Μέτων ᾽Αθηναῖος.

**A 2** = Skylax, Periplus 95 Müller
Τρῳὰς· (...) νῆσος κατὰ ταῦτα κεῖται Τένεδος καὶ λιμήν, ὅθεν Κλεόστρατος ὁ ἀστρολόγος ἐστί.

**A 3** = Arátos V, 2, 5; p. 324, 10 Maass
πολλοὶ γὰρ καὶ ἄλλοι Φαινόμενα ἔγραψαν καὶ Κλεόστρατος καὶ Σμίνθης καὶ ᾽Αλέξανδρος ὁ Αἰτωλὸς ...

**A 3a** = Catalogus astronom., ed. Maass (Wilamowitz, Philolog. Untersuch. XII, 121)
Κλεόστρατος Τενέδιος.

**A 4** = Athenaios, Deipnosophistae VII, 278a (= VII, 7 Kaibel)
ὁ δὲ ὀψοδαίδαλος ᾽Αρχέστρατος ἐν τῆι Γαστρολογίαι (οὕτως γὰρ ἐπιγράφεσθαί φησι Λυκόφρων ἐν τοῖς Περὶ κωμωιδίας, ὡς τὴν Κλεοστράτου τοῦ Τενεδίου ᾽Αστρολογίαν) περὶ τῆς ἀμίας φησὶν οὕτως ...